# Archeláos

Fragmenta DK 60 B

*ΕΛΕΓΕΙΑΙ*

**B 1** = Plútarchos, Cimon 4
Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης, γένος Θράιττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται (...) δῆλος δ᾽ ἐστὶ καὶ πρὸς Ἰσοδίκην τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ᾽ αὐτῶι συμβιώσασαν ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίαι τοῦ πένθους ἐλεγείαις (PLG II, 259 Bergk) πρὸς αὐτόν, ὧν Παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἀπὸ τρόπου τοῖς χρόνοις εἰκάζων.

*ΦΥΣΙΟΛΟΓΙΑ*

**B 1a** = Plútarchos, De primo frigido 21; 954f
ὅθεν οὐ κατὰ χώραν μόνον ἐξ ἕδρας ἀκίνητον οὖσαν αὐτὴν [τὴν γῆν], ἀλλὰ καὶ κατ᾽ οὐσίαν ἀμετάβλητον, Ἑστίαν ἅτε δὴ ἰμένουσαν ἐν θεῶν οἴκωι˝ κλίτα προσηγόρευσαν οἱ παλαιοὶ (Platón, Phaedr. 246e) διὰ τὴν στάσιν καὶ πῆξιν·
„ἧς ἡ ψυχρότης δεσμός ἐστιν,“
ὡς Ἀρχέλαος ὁ φυσικὸς εἶπεν (cfr. A 4, 2), οὐδενὸς χαλῶντος αὐτὴν οὐδὲ μαλάττοντος, ἅτε θερομένην καὶ ἀλεαινομένην [ἀμετάβλητον] οὖσαν.

*ΠΕΡΙ ΤΗΣ ΙΕΡΑΣ ΤΕΧΝΗΣ*

**B 2** = Berthelot, Coll. des Alchim. gr. I; 25, 6
γίνωσκε, ὦ φίλε, καὶ τὰ ὀνόματα τῶν ποιητῶν· Πλάτων (...) Θεόφραστος, Ἀρχέλαος, Πετάσιος (...).